# Aus Julian von Halikarnass

In der Handschrift Nr. 454 der Nationalbibliothek zu Paris (und daraus abgeschrieben in der Berliner Hs. Phillipp. 1406) ist ein griechischer Commentar zum Hiob erhalten, den erst eine jüngere Hand dem Origenes beigelegt hat. Dass er das Werk des Bischofs Julianus von Halikarnass ist, habe ich in einem Excurs zu Lietzmanns Catenen (Freib. 1897 S. 28 ff.) durch Zeugnisse festgestellt. Julianus, beim Regierungsantritt des K. Justinus (518) seines Amtes entsetzt, hatte sich in Alexandreia niedergelassen und dort im Widerstreit gegen einen Schicksalsgenossen, den früheren Erzbischof von Antiocheia, Severus eine Secte begründet, deren Anhänger bald nach dem unterscheidenden Dogma Aphthartodoketen, bald nach ihrem ersten Bischof Gaianus Gaianiten benannt werden und sich bis in das VII. Jahrhundert in Aegypten behaupteten[1]. Die monophysitische Lehre wurde von ihm bis zu der Consequenz getrieben, dass er auch für den Leib des Gottmenschen das Prädicat der Göttlichkeit, Unwandelbarkeit und Unverweslichkeit (ἀφθαρσία) schon vor der Auferstehung forderte. In dem vorliegenden Commentar spricht er sein Dogma, so wie es sich vor dem Zusammenstoss mit Severus vorbereitet hatte, mit einer Deutlichkeit aus, die den äusseren Beweisen für seine Autorschaft die innere Bewährung hinzufügt, zu Hiob 37, 21 f. (cod. Par. f. 117ᵛ)[2] οὔτε οὖν ἄλλος τις τῶν ὅλων αἴτιος ἢ ὁ παντοκράτωρ οὔτε ἕτερος μεσίτης τῆς τούτων γενέσεως ἢ ὁ μονογενὴς θεὸς ὁ ἐν ἀρχῇ λόγος ὁ πρὸ πάντων, δι' οὗ τὰ πάντα· πρὸ πάντων μὲν ὡς 'πρωτότοκος πάσης κτίσεως'· δι' οὗ δὲ τὰ πάντα, ὅτι 'πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐ-

[1] Für das VII. Jahrh. zeugt Sophronios in den Wundern des h. Kyros und Johannes c. 12 in Mai's Spicil. Rom. 3, 174 f. 179 und c. 36 ebend. p. 386. Von den syrisch erhaltenen Schriften des Severus gegen Julian hat Mai Spic. Rom. 10, 169 ff. Proben gegeben (darin Aeusserungen des Julianus p. 186. 187. 192).

[2] In den Auszügen bis S. 325 habe ich die üblichen Schreibfehler der Hs. stillschweigend verbessert.

τοῦ ἐγένετο οὐδὲ ἕν' (Joh. 1, 3). οὔτε δὲ λόγος ὡς φωνή, οὔτε θεὸς ὡς ἄναρχος, ἀλλὰ λόγος μὲν ὡς ἀμεσιτεύτως γενόμενος, βουλήσει καὶ δυνάμει γεννηθείς, οὐ πάθει τῆς φύσεως, οὐ διαιρέσει τῆς οὐσίας· ἄφθαρτος γὰρ ὁ γεννήσας ὡς ἀθάνατος, ἄφθαρτος δὲ καὶ ὁ γεννηθεὶς κατὰ τὴν οἰκείαν ἀξίαν ὡς μονογενὴς θεός· ἐπὶ δὲ τῶν ἀφθάρτων οὔτε τροπὴ οὔτε διαίρεσις οὔτ' ἀλλοίωσις, οὔτε προβολὴ οὔτε μεταβολὴ ἐπινοηθῆναι δύναται· οὐ γὰρ ἄνθρωπος ὁ γεννήσας ἀλλὰ θεὸς ἀληθινὸς ἅγιος. οὐκοῦν καὶ ἡ γέννησις θεοπρεπής, οὐκ ἀνθρωποειδής· ὅ τε γὰρ γεννήσας δέδωκε τὸ εἶναι, ἀλλ' οὐ μετέδωκεν, ὅ τε γεννηθεὶς γέγονεν αὐτὸ ζωή, ἀλλ' οὐ μετέλαβεν. μεγάλη οὖν ἡ δόξα τοῦ παντοκράτορος, μεγάλη ἡ ὀφειλομένη αὐτῷ τιμὴ παρὰ πάσης λογικῆς καὶ ἁγίας φύσεως ὡς ἀσυγκρίτῳ (-κρίτου P) καὶ φύσει καὶ δυνάμει. οὔτε οὖν ὁμοούσιόν τι ἐξ αὐτοῦ (εἴρηται γὰρ ὅτι ἄφθαρτος) οὔτε ὁμοιούσιον (ἀσύγκριτος γάρ ἐστι), vgl. zu 38, 28—9 f. $131^{rv}$.

Der Commentar ist im ganzen schlicht und einfach; er schweift nicht leicht vom Texte ab und erhebt sich nur einmal zu einer längeren Ausführung, auf die wir zurückkommen werden. Andere als biblische Gelehrsamkeit darf man nicht erwarten. Obwohl selbstverständlich Vorgänger benutzt sind, werden doch selten ältere Interpreten genannt. Eine Erklärung des Lukianos wird zu 2, 10 f. $15^r$ angeführt aus zweiter Hand. Oefter berücksichtigt er die Σύροι:

Zu 10, 10—12 f. $38^r$ οὐδὲν δὲ ἧττον ἐξελέγχει καὶ τὴν Συριακὴν παροινίαν τὴν φάσκουσαν σὺν τῷ σπέρματι καταβάλλεσθαι τὴν ψυχήν. εἰ γὰρ πρῶτον ἡ μῖξις, εἶτα ἡ σύλληψις καὶ τρίτον ἡ διάπλασις, εἶτα ἑξῆς ἡ μόρφωσις καὶ τελευταία ἡ ψύχωσις, πῶς ἅμα τῷ σπέρματι καταβάλλουσι τὴν ἀθάνατον ψυχήν; εἰ γὰρ μετὰ τὸ ἐξεικονίσθαι τότε ψυχοῦται, ὥς φησιν οὗτος ὁ θεῖος καὶ ἄμεμπτος ἀνήρ, ἐν αὐτῷ τῷ σώματι γίνεται καὶ οὐ σπερματικῶς ῥεῖ· ἄφθαρτος γάρ ἐστι καὶ ἀσώματος, καὶ τομῆς καὶ μερισμοῦ ἀνωτέρα· οὐ γὰρ ψυχὴ τὸ σπέρμα οὔτε μὴν ἄνθρωπος, ἀλλὰ περίττωμα τροφῆς· τροφαὶ δὲ ἐξ ὄντων, ψυχὴ δὲ οὐκ οὖσα γίνεται, τὸ δὲ σπέρμα ἐξ ὄντων· προϋπόκειται γὰρ αὐτοῦ τὸ τρεφόμενον σῶμα, προσλαμβάνον μὲν ἐκ τῆς ἐπιχορηγουμένης ἐκ τῶν στοιχείων (στιχίων P) τροφῆς, ἐν δὲ τῇ ἀποβολῇ οὐ ψυχὴν ἀλλὰ περίττωμα κατὰ τὴν μῖξιν ποιούμενον (viell. προϊέμενον) κτλ.

26, 5 f. $75^v$ οἱ δὲ Σύροι ἀντὶ τοῦ 'μαιωθήσονται' ματαιωθήσονται ἐκδεδώκασιν καὶ φασίν· οὐ γὰρ οἱ γίγαντες

ἐματαιώθησαν, εἰ ἔμειναν ἀναμάρτητοι· οὐδὲ διὰ κενῆς ὑποκάτωθεν τοῦ ὕδατος ἐτιμωρήθησαν καὶ ἀπώλοντο, φησίν, οἱ μεγάλοι ἄνδρες ἐκεῖνοι ὑπὸ τὸ ὕδωρ διὰ τὴν ἀσέβειαν αὐτῶν καὶ διὰ τὴν εἰς ἀλλήλους ἀδικίαν.

30, 29 (σειρήνων) f. 89ᵛ οἱ δὲ Σύροι τοὺς κύκνους φασὶν εἶναι· καὶ γὰρ οὗτοι λουσάμενοι καὶ ἀναπτάντες ἐκ τοῦ ὕδατος καὶ (lies κατὰ) τοῦ ἀέρος ἡδύ τι μέλος ᾄδουσιν.

31, 27—28 f. 92ᵛ κατὰ μὲν Σύρους· οὐ προσεκύνησα τῇ χειρί μου ἐπιλαθόμενος τὸν ἥλιον ἢ τὴν σελήνην ἢ τοὺς λοιποὺς ἀστέρας ἀνατέλλοντας, τὸ κῦρος αὐτοῖς ἀνατιθεὶς (ανατεθεῖς P) καθάπερ οἱ ἀσεβεῖς. ἕτεροι δὲ κτλ. Vgl. Catena p. 475 ἄλλοι δὲ οὕτω —.

36, 25 f. 111ᵛ οἱ δὲ Σύροι οὐ τοῦτο (viell. τοιοῦτο) εἶναι βούλονται τὸ ῥητόν, ἀλλ' ὅτι, φησί, πᾶς ἄνθρωπος φθαρτός ἐστι, διὰ τοῦτο "ὅσοι τιτρωσκόμενοι" ἀντὶ τοῦ φθειρόμενοι καὶ διαλυόμενοι.

Julian behandelt, wie man sieht, wenn es sich um ihre Schriftauslegung handelt, die Syrer mit Achtung; er wird den Theodoros von Mopsuhestia oder den Theodoretos im Auge haben. Nur an der ersten Stelle, wo von dem Ursprung der Seele gehandelt wird, spricht er von 'dem besoffenen Einfall' der Syrer.

Als einziges in der Ursprache erhaltenes Werk des Julianus wird dieser Commentar einmal vollständig in lesbarer Gestalt zum Abdruck gebracht werden müssen. Eben darum darf ich die reichlichen Auszüge, die ich bei der Durchsicht der Pariser Handschr. gemacht, zurückhalten und mich auf Mittheilung der wenigen Stellen beschränken, die für einzelne Philologen Interesse haben könnten.

Zu 7, 9—10 Par. f. 28ᵛ ταῦτα δὲ λέγει οὐχὶ τὸν τῆς ἀναπλάσεως (vielm. ἀναστάσεως) ἀθετῶν λόγον, ὡς ἐνόμισαν Μανιχαῖοι καὶ Οὐαλεντῖνοι, vgl. zu 14, 10 οὐ γὰρ τὴν ἀνάστασιν ἀθετεῖ διὰ τούτων, ὡς ἐνόμισαν οἱ δυσώνυμοι Οὐαλεντῖνοι καὶ πάντες οἱ τὴν ἀθεότητα νοσήσαντες.

8, 16 f. 31ᵛ σαπρὸς δ' ὁ ῥάδαμνος λέγει οὐχ ἵνα φαυλίσῃ τὸ σπέρμα κατὰ Μανιχαίους καὶ ψευδεγκρατητάς (so)· οὔτε γὰρ τὸ σῶμα κακὸν οὔτε αἱ τροφαὶ φαῦλαι οὔτ' αἰσχρὸν τὸ τούτων περίττωμα· οὐδὲν γὰρ παρὰ ἀγαθοῦ κακὸν πέφυκεν.

9, 9 f. 34ʳ πλειὰς μὲν γὰρ ἐπιτέλλουσα ἄρχεσθαι ἀμήτου (am Rand dazu das Scholion ἄμητος ὁ καιρός, ἀμητὸς ὁ καρπός) παρακελεύεται, καταδύνουσα δὲ ἀρότου (αρρότρου P)

ἅπτεσθαι σημαίνει. ὁ ἕσπερος (ὁάσπερος P) δὲ μη (hier verbirgt sich eine Lücke, das folgende handelt vom Arkturos) τοῖς πλέουσιν ὁδηγὸς γίνεται οὔποτ' ἐπ' εὐθείας βαίνων ἀλλ' ἀεὶ καθάπερ ἄξων τις περιδινούμενος.

20, 18 f. 61r ἔστι τις πόα στρύφνος καλουμένη, οὐχ ἡ (καλουμένοι ουχὃ ἱ P) ἐν παραδείσοις γινομένη (οὐκ ἐδώδιμος γὰρ αὕτη), ἀλλ' ὄρειος, δορύκνιον δὲ αὐτὴν προσονομάζουσιν· ἐξ ἧς ὁ ἐμφαγὼν κατὰ μικρὸν ὑπεξίσταται τοῦ ζῆν ἀποψυχθείς, εἰ μὴ ταχεῖά τις γένηται βοήθεια.

30, 4 f. 87r ἅλιμα δὲ φυτόν ἐστιν ἐν φραγμοῖς καὶ ἐν ὄρεσιν, ἐδώδιμον δὲ τυγχάνει καὶ κορωτικόν, ἁλμυρὸν ποσῶς, ὅπερ δι' ἀνάγκην λιμοῦ λαχανευόμενον (αχαν- P) ἐσθίεται νεαρόν.

30, 29 f. 89r οἱ μὲν μυθολόγοι τὰς Σειρῆνας φασὶ θηλυπρόσωπά τινα ὀρνύφια εἶναι, ἀπατῶντα τοὺς παραπλέοντας ᾄσμασί τισι πορνικοῖς καὶ κηλοῦντα τὰς ἀκοὰς τῶν ἀκροωμένων, καὶ τέλος ἔχει (ἔχειν P) τῆς ἡδονῆς ἡ ᾠδὴ ἕτερον μὲν οὐδὲν χρηστόν, θάνατον δὲ μόνον. ὁ δὲ ἀληθὴς λόγος τοῦτο βούλεται, εἶναι τόπους τινὰς θαλασσίους ὄρεσί τισιν ἐστενωμένους, ἐν οἷς θλιβόμενον τὸ ῥεῖθρον λιγυράν τινα φωνὴν ἀποδίδωσιν, ἧς ἐπακούοντες οἱ παραπλέοντες ἐμπιστεύουσι (-στεύσουσι P) τὰς ἑαυτῶν ψυχὰς καὶ αὔτανδροι σὺν ταῖς ναυσὶν ἀπόλλυνται.

36, 26—28 f. 112r γνῶσις ἄναρχος ὢν καὶ θεὸς ἀγένητος. ἐπ' αὐτοῦ μόνου ἔσται ἀληθές·

οἶδα ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης,
καὶ κωφοῦ ξυνίημι καὶ οὐ λαλέοντος ἀκούω.

ὁ γὰρ τὸν Κροῖσον ἐξαπατῶν ταῖς δόξαις πρὸς ῥῆσιν ἐψεύδετο ἑαυτῷ ταῦτα μαρτυρῶν. ὁ γὰρ τούτων δημιουργὸς οὗτος ἔχει καὶ τὸν ἀριθμὸν αὐτῶν ἀκριβῆ κτλ. (Vgl. Herod. 1, 47; dort φωνεῦντος st. λαλέοντος).

38, 25—30 f. 130v f. (Gott spricht) κἀκ (καὶ P) τούτου ἶριν θαυμαστὴν ἀποστέλλω σοφίᾳ τῇ ἐμῇ, ὥςπερ γραμμαῖς (γὰρ ἅμμαις P) τισὶν εὐθείαις λόγῳ θεωρηταῖς καὶ νῷ περιληπταῖς (περιβληταῖσ P, ein Verbum fehlt)· ἡ γὰρ ὑγρὰ οὐσία εἰς νέφος μεταβαλλομένη ἐκ τοῦ κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας νοτίζεται. ἐπὰν δὲ ὁ ἥλιος γένηται ἐν δυσμαῖς, εὐθὺς ἡ ἀψὶς αὐτῆς κυρτοῦται εἰς κάλλος ἀμήχανον. ἡ γὰρ ἀψὶς προσπεσοῦσα ταῖς ῥανίσιν ἀνακλᾶται καὶ γίνεται τόξον· αἱ δὲ ῥανίδες οὐ σχήματος μορφὴν (viell. μορφῇ) ἀλλὰ χρώματος· τὸ μὲν πρῶτον φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργές, καὶ τὸ τρίτον κυανοῦν καὶ πρά-

σινον. τὸ φοινικοῦν γὰρ ὑπὸ τῆς λαμπρότητος τοῦ ἡλίου καταυγασθὲν ἀκραιφνῶς (ἀκρεφνὸσ P) τῇ ἀνακλάσει ἐρυθραίνεται, τὸ δὲ δεύτερον ἐπιθολούμενον καὶ ἐκλυόμενον (ἐκκλυὅμενον P) μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας ἁλουργὲς γίνεται, ἄνεσις γὰρ τοῦ ἐρυθροῦ. ἔτι δὲ μᾶλλον ἐπιθολούμενον τὸ διορίζον εἰς τὸ πράσινον μεταβάλλει.

38, 30—32 f. 132ʳ εἰσὶ δέ τινες κομῆται προσαγορευόμενοι, οὐκ ἀεὶ (εἰσὶ P) μὲν φαινόμενοι, διά τινος δὲ χρόνου περιοδικοῦ ἐπιτέλλοντες. οἳ δὲ πωγωνιαῖοι καλοῦνται καὶ δοκίδες καὶ κίονες συρτῖται (doch wohl συρτοί τε) καὶ ῥομφαίᾳ τινὲς παραπλήσιοι . . . . εἰδέναι δὲ χρή, ὅτι ἄστρον ἀστέρος κεχώρισται (καὶ χώρηται P)· τὸ μὲν γὰρ ἄστρον ἐκ πολλῶν ἀστέρων σύγκειται, ὡς πλειὰς καὶ ὁ σκορπίος καὶ αἱ ἄρκτοι καὶ αἱ ὑάδες καὶ ὁ Ὠρίων· ὁ δὲ ἀστὴρ ἕκαστος καθ' ἑαυτόν, ὡς ὁ ἑωσφόρος, ὁ ἕσπερος καὶ οἱ ἕτεροι οὓς ὁρῶμεν μόνους.

41, 6 (σμυρίτης λίθος) f. 143ʳ εἶδος δὲ ἐστὶ λίθου οὕτω καλούμενον παρ' Ἰνδοῖς. ὅπερ σίδηρος οὐ δύναται διατεμεῖν, τοὐναντίον δὲ πρίν τι ἂν αὐτὸν διαθῆται, αὐτὸς φθάσας θρύπτεται διὰ τὸ ἀντιτυπές.

42, 11 f. 149ᵛ f. ἔχει τοίνυν ἡ λίτρα οὐγκίας ι̅β̅, στατῆρας ρ̅η̅, νομίσματα ο̅β̅, δραχμὰς ϟ̅ϛ̅. ἡ οὐγκία ἔχει νομίσματα ϛ̅, δραχμὰς η̅. τὸ ἥμισυ τῆς οὐγκίας γίνεται νομίσματα γ̅ (Υ die Hs.), δραχμαὶ δ̅, ὡς εἶναι τὸ τετράδραχμον νομίσματα τρία. (Am oberen Rande: ἡ δραχμὴ κεράτια ι̅η̅).

42, 14 f. 141ʳ κασίαν δὲ καὶ Ἀμαλθείας κέρας ἀρώματα, σύμβολα θυμηδίας τινὸς καὶ τῆς παλαιᾶς δυσοσμίας ἀποφυγήν. ἐλθέτωσαν γὰρ οἱ τὴν Κρητικὴν (κὰρ τερικὴν P) αἶγα Ἀμάλθειαν ὀνομάζοντες καὶ τὸν Δία αὐτῇ τρόφιμον ἀναπλάττοντες καὶ μισθὸν τῶν τροφείων μετὰ τὴν αὔξησιν ⟨τῇ⟩ τιθηνῷ παρασχέσθαι πλασάμενοι ⟨τὸ⟩ αὐτὴν καταθοινήσασθαι σὺν τοῖς ἄλλοις θεοῖς.

42, 18 f. 151ᵛ Συριακὴν δὲ νῦν τὴν Ἑβραίαν διάλεκτον καλεῖ, ἐπειδὴ καὶ Συρίαν τὴν Ἰουδαίαν καὶ Σύρους οἱ πολλοὶ τοὺς Παλαιστινοὺς ὀνομάζουσιν. καὶ Ἡρόδοτος ὁ ἱστοριογράφος φησί (2, 104) ‘περιτέμνονται δὲ Ἰνδοὶ καὶ Αἰγύπτιοι καὶ Ἄραβες καὶ οἱ ἐν Παλαιστίνῃ Σύροι’, τοὺς Ἰουδαίους καταλέγων.

Das ist recht wenig und das wenige dürftig genug. Um so vortheilhafter unterscheidet sich die zu einer kleinen Abhand-

lung angewachsene Erörterung über den Glauben der Astrologen und die menschliche Willensfreiheit, die der Verfasser an Hiob 38, 7 anknüpft. Nachdem Edmund Hauler im Eranos Vindobonensis (1893) S. 334 ff. daraus die Bruchstücke des Menander und Sotades hervorgezogen hat, empfinde ich es als Pflicht, den ganzen Tractat endlich im Zusammenhang vorzulegen. Die kleine Abhandlung zeichnet sich durch gewandte Dialektik, straffe Haltung und einen Anflug weltlicher Gelehrsamkeit aus. Kein Zweifel, dass der Verfasser sich eng an einen älteren Schriftsteller anschliesst. Diese Quelle wird sich wohl nicht mehr ermitteln lassen; sicher hat nicht, woran man gedacht hat, das weitschweifige Werk des Diodoros von Tarsos, aus dem Photios bibl. cod. 223 Auszüge erhalten hat, dem Julian vorgelegen. Einzelne Anklänge erklären sich zur Genüge daraus, dass die Bekämpfung der Lehre, dass das Menschengeschick durch die Sterne vorbestimmt werde, ein beliebter Tummelplatz christlicher Polemik war. Die seltene Wortbildung, die $125^{v}$ 10 f. begegnet, ταυριανός ζυγιανός κριανός σκορπιανός, ist sonst vermieden, aber schon von Basileios in hexaëm. hom. VI 6 (t. I p. $55^{cd}$) benutzt, wie Cumont bemerkt.

Ich gebe den Text, soweit ich ihn glaubte herstellen zu können, mit Angabe der handschriftlichen Lesung. Grossen Dank schulde ich den Herrn Wendland, Kaibel, Cumont und Kroll, welche zu verschiedenen Zeiten, Wendland schon bevor ich selbst den Text durchgearbeitet hatte, das Stück gelesen und mir wichtige Beiträge zur Verbesserung und Erklärung beigesteuert haben. Einige Fragen mögen dann am Schlusse besonderer Erörterung unterzogen werden.

1v ὅτε ἐγεννήθη ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου. ὅτε γὰρ τὰς νοητὰς φύσεις ἔκτισα μεγάλας οὔσας, μέγα καὶ τὸ θαῦμα ἔφερεν καὶ ἐπέκεινα δόξης καὶ σοφίας τὸ διάφορον τῶν φύσεων καὶ τὸ ποικίλον τῶν ἀξιωμάτων. ὅτε δὲ ποιεῖν καὶ τὰ αἰσθητὰ ἠξίωσα, πολλὴν περιουσίαν δυνάμεως ἐνεδειξάμην, οὐρανὸν ἐκτείνας καὶ γῆν ἐρείσας καὶ φῶς λαμπρύνας καὶ νύκτα σκοτίᾳ καλύψας, ἥλιόν τε καὶ σελήνην καὶ τὸν ὄχλον τῶν ἀστέρων ἐν οὐρανῷ καταγράψας· τηνικαῦτα ὑπὸ τῶν νοητῶν δυνάμεων ᾐνέθην, καὶ ἐδόξασαν τὸ

$121^{v}$ 1 φωνὴ Hs. 3 vielmehr θαῦμα καὶ ἔφερεν ἐπέκ. 4 τὸν διάφορον Hs. 5 ἐσθητὰ 6—7 ἐρήσασ· 9 ἦν ἔθην καὶ ἔδοξα | σαντος doch von erster Hand τοκρά übergeschrieben

κράτος τῆς δυνάμεως καὶ τὸ ἀμήχανον τῆς σοφίας ὑμνοῦντές με τὸν ἑαυτῶν δεσπότην.

Εἰ τοίνυν ὑ|μνητὸς καὶ αἰνετὸς ὁ θεὸς ἐπὶ τῇ κατασκευῇ τῶν ἄστρων, πῶς φασίν τινες τῶν ἐκμελεστέρων αἰτίους κακῶν εἶναι τοὺς ἀστέρας; εἰ γὰρ τοῦτο δοθείη, οὐ τοσοῦτον αὐτοὶ ⟨αἴτιοι⟩ ἔσονται ὅσον ὁ τούτων ποιητής, ἢ φαύλους ποιήσας ἢ γενομένους μὴ κωλύσας ἐνεργεῖν τὰ κακά. εἰ γὰρ αὐτοὶ τῶν κακῶν αἴτιοι καὶ οὐχ οἷόν τε διαφυγεῖν αὐτῶν τὴν ἐνέργειαν, μάτην ἄρα καὶ οἱ νόμοι προστάττουσι τὸν φονέα καὶ τὸν μοιχὸν ἀναιρεῖσθαι· εἰ δ' οὐ περιττῶς ἀλλ' ἀναγκαίως, οὐχ οἱ ἀστέρες εἰσὶ τῶν κακῶν δημιουργοί, ἀλλ' ἡ ἑκάστου μοχθηρὰ γνώμη πρὸ τῆς ἀρετῆς τὴν κακίαν αἱρησαμένη. εἰ δ' οὗτοι εἰσὶν οἱ ἀναγκάζοντες ἡμᾶς, ἡμεῖς δὴ ἀναίτιοι, φαῦλοι δ' αὐτοί, ὡς ἔφην, ἢ ὁ τούτων αἴτιος. πῶς δὲ κολάσει τοὺς πονηροὺς ὁ θεός, εὖ ποιήσει δὲ τοὺς ἀγαθοὺς αὐτὸς τούτων ἐργάτης ὑπάρχων; εἰ δὲ ἀγαθὸς ὁ θεὸς καὶ παντὸς κακοῦ ἀμέτοχος, οὐδενός ἐστιν κακοῦ ποιητής, ἀγαθοῦ δὲ παντὸς δημιουργός· πάντα γὰρ ὅσα ἐποίησεν καλὰ λίαν· οὐκοῦν οὐδὲν τῶν γενομένων κακόν, οὐ τῶν ὑπὲρ γῆν, οὐ τῶν ἐπὶ γῆς, οὐ τῶν ἐν οὐρανῷ, ὥςτε οὐδ' οἱ ἀστέρες. ἔπειθ' ὅτι καὶ ἄψυχοι εἰσὶν καὶ ἐξ αὐτῶν ἀκίνητοι· οὐ γάρ εἰσι ζῷα νοερά, ὡς οἱ πολύθεοι ἐνόμισαν· κινοῦνται δὲ οὐκ ἐντός, ὡς τὰ ζῷα, ἀλλ' ἐκτὸς τῇ γνώμῃ τοῦ θεοῦ εἰς σημεῖα καὶ καιροὺς δρόμον ἀνύοντες τὸν αὐτοῖς ἐγχειρισθέντα. λέγουσι δὲ οἱ περὶ Εὔδοξον καὶ Ἄρατον

αὐτὸς γὰρ τά γε σήματα ἐν οὐρανῷ ἐστήριξεν
ἄστρα διακρίνας, ἐσκέψατο ⟨δ'⟩ εἰς ἐνιαυτὸν
ἀστέρας, οἵ κε μάλιστα | τετυγμένα σημαίνοιεν.

οὐκοῦν εἰς καιροὺς ἐτάχθησαν οἱ ἀστέρες, ἀλλ' οὐχ ἵνα ἐνεργῶσι τὰ κακά, καὶ εἰς ἐνιαυτούς, ἀλλ' οὐκ εἰς γενέσεις καὶ πράξεις· ἐπ' ἀνθρώποις γὰρ τὸ βιοῦν εὖ ἢ κακῶς, ἀλλ' οὐκ ἐπὶ τοῖς ἄστροις· οὐ γάρ εἰσι τὰς τῶν ἀνθρώπων γνώμας ἡνιοχοῦντες ἀλλὰ τὰς τῶν χρόνων περιόδους διιππεύοντες. χρόνος

122r 15 f. vgl. Genesis 1, 31 vgl. 8. 10 usw. 20 f. nach Genesis 1, 14 23 Aratos 10—12.

122r 2 τον 5 κολήσασ 6 οἱόντες 8 ἀνερεῖσθαι· | ἀλλ' ἀναγγαίοσ (ἀλλὰ δικαίως verm. Wendland) 9 ἡ] οἱ 10 αἱρησαμένοι | οἱ]ἡ 11 δὴ] δὲ | αἰν αἴτιοι 16 οὐδὲν τὸν | κακόν Wendland: κακῶν 17 ὥςτε Kroll: ὥσπερ 18 ὅτι wie unten 122v 17 19 νοαιρᾶ | πολείθεοι 21 καιροὺς ⟨καὶ ἐνιαυτοὺς⟩ verm. Cumont vgl. 126r 16. 122v 3 23 αὐτός τε τά τε 122v 1 οἱ καὶ | σημένουσιν 6 τὰσ τὸν

γὰρ δι' αὐτῶν, ὡς ὁ Πλάτων φησί· χρόνος γάρ ἐστιν ἀστέρων ποιά τις κίνησις συμπαρομαρτούντων ἡλίῳ καὶ σελήνῃ. οὐκοῦν εἰ ταῦτα ἐνεχειρίσθησαν δρᾶν, οὔτε πρὸς ἀρετὴν οὔτε πρὸς κακίαν βιάσασθαί τινα οἷόν τέ ἐστιν· οὐ γὰρ ἐπετράπησαν. Ἀλλ' ἑκάστῳ, φησίν, ἀνθρώπῳ ἄστρόν ἐστι συγγεννώμενον, ὅπερ αὐτὸν καταναγκάζει τόδε τι καταπράττεσθαι. ἐν ἀρχῇ οὖν κατ' αὐτοὺς ὁ οὐρανὸς τοῖς ἄστροις οὐκ ἠγλάϊστο· εἰ γὰρ ἑκάστῳ ἀστὴρ συγγεννᾶται, δῆλον ὅτι ἀστὴρ ὁ σήμερον συγγεννηθεὶς τῷδε χθὲς οὐχ ὑπῆρχεν, καὶ εὑρεθήσονται ἄνθρωποι τῆς αὐτοῦ γενέσεως προγενέστεροι (διὰ γὰρ ἀνθρώπους ἀστήρ, οὐκ ἄνθρωπος δι' ἀστέρα)· εἰ δὲ τοῦτο, πάντως ὅτι καὶ κρείττους. οὐκοῦν οὐδεμίαν παρ' αὐτῶν ὄχλησιν ὑπομένουσιν ἄνθρωποι· τὸ γὰρ ἔλαττον βιάσασθαι τὸ κρεῖττον οὐχ οἷόν τε. ἔπειτα ἄνθρωπος γεννᾷ τὸ τούτῳ συγγεννώμενον ἄστρον ἢ θεὸς ⟨ἢ⟩ κατὰ συνθήκας ἀμφότεροι, ὅ τε θεὸς καὶ ⟨ὁ ἄνθρωπος· καὶ εἰ⟩ ἄνθρωπος ὁ αἴτιος τούτου, κρείττων ἔσται ὡς αἴτιος, ἔλαττον δὲ ὂν τὸ ἄστρον οὐ καταναγκάσει τὸν κρείττω. εἰ δὲ θεὸς κτίζει τουτὶ τὸ ἄστρον, αὐτὸς αἴτιος ἔσται κατ' αὐτοὺς τῶν κακῶν. εἰ δὲ κατὰ συνθήκας, μετὰ τοῦ ἰσοτίμους εἶναι
123r ἀμφοτέρους φαῦλοι | ἔσονται. καὶ πῶς ὃ μὲν νομοθετεῖ ὡς καταδεεστέρῳ, ὃ δὲ ⟨ὡς⟩ ὑποκείμενος δέχεται τοὺς νόμους ʻοὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψειςʼ; πῶς οὖν αὐτὸς δημιουργὸς τοῦ ταῦτα καταναγκάζοντος ἄστρου, πῶς τῶν κακῶν αἴτιος ὁ τῶν κακῶν ἀποστροφεύς; σὺ δ' ἄρα τῶν ἄστρων καταψεύδῃ λέγων, ὅτι ἂν τριγωνίσῃ Ἄρην ἡ Ἀφροδίτη, μοιχοὺς ποιεῖ· καὶ πάλιν·

κεντρογραφηθείσης δὲ μετ' ἠελίοιο σελήνης
μείζονας ἐνδόξους καὶ βασιλεῖς προλέγειν.

καὶ μετὰ βραχέα·

122v 7 Platon Tim. p. 38c, zur Definition vgl. Chrysippos bei Didymos Ar. in Diels' Doxogr. p. 461, 24

10 lies οἷοί τέ εἰσιν 11 συγγεννόμενον 13 ὀυμηγλάϊστο. 20 γενᾶ und συγγενόμενον 21 f. dass die erste Annahme, dass der Mensch Urheber des Sterns sei, erörtert werden musste, hat Wendland bemerkt 22 κρείττω 23 ἐλάττω | τὸν Kaibel: τὸ 123r 1 viell. ἀμφότεροι, Wendland verm. ἀμφοτέρους ⟨ἀμφότεροι⟩ 2 καταδεεστέρῳ Wendland: κατὰ δὲ ἑτέρω 5 σὺ δ'] εἰ δ' 6 ἄρεισ ἢ verb. von Cumont mit Hinweis auf eine Paraphrase des Anubion ὁ Ἄρης Ἀφροδίτην τριγωνίζων ... οἱ τοιοῦτοι πολλῶν γυναικῶν λέχη θηρῶσιν ἤτοι μοιχοὶ γίνονται 8 μεθ' ἡλίω· 9 μείζωνας | προλέγει

εἰ δ' Ἄρην ἐσίδοις εἰς τὸν Διὸς ἀγλαὸν οἶκον,
θαρρῶν ἡγεμόνας καὶ βασιλεῖς προδέχου.

καὶ ἑξῆς·

καὶ γὰρ δύνουσιν ἤτ εὐχῶν ἢ θορύβους ἐπάγει.

ταῦτά σου τὰ ἀσεβῆ μυθολογήματα, ὦ πάντα σὺ τολμηρὲ καὶ φρονεῖν καὶ λέγειν καὶ γράφειν· αὗται αἱ κατὰ τοῦ θεοῦ ὕβρεις καὶ τῶν αὐτοῦ δημιουργημάτων ἀτιμίαι· οὐκ ἔδεισας, ἀχαριστότατε, τὰς τῶν δαιμόνων προσηγορίας τοῖς φανοτάτοις τῶν ἄστρων ἐπιθεῖναι; τί νῦν φῂς τοὺς ἀστέρας εἶναι, λέγε, πότερον θεούς τινας ἢ ἀστέρας ἁπλῶς; κἂν μὲν τὸ δεύτερον εἴπῃς, ἁλώσῃ τοῖς ἰδίοις πτεροῖς· πῶς γὰρ οἱ μὴ θεοὶ τῶν ἐπὶ γῆς καὶ τῶν ἐν οὐρανῷ φροντίζουσιν, οὐ λόγου, οὐκ αἰσθήσεως μεμοιραμένοι; οὐ γὰρ δὴ ὁ μὴ λέγων αὐτοὺς εἶναι θεοὺς τὴν τῶν ὅλων αὐτοῖς ἐπιτρέψει διοίκησιν. εἰ δὲ θεοὶ ὄντες οὗτοι προνοοῦσιν, εἰπέ μοι γλωσσοθάνατε, εἰ θεὸς ἥλιος καὶ σελήνη, πῶς ὃ μὲν φονέας, ἣ δὲ μοιχοὺς ἀπεργάζεται, ἧς ἕνεκα θόρυβοι; εἰ γὰρ ἑκάτερα κακὰ εἴη, οὐ θεοὶ ⟨οἱ⟩ τούτων ὄντες αἴτιοι κατὰ |
σέ, ⟨ἢ⟩ θεοὶ ὄντες οὐκ ἂν ταῦτ' ἐνεργήσαιεν. εἰ δὲ θεῶν τὸ κακὰ 123
ἐνεργεῖν, ὡς σὺ βλασφημεῖς, μὴ τύπτε τὸν ἁμαρτάνοντα, μὴ ἄχθου μοιχευομένης σου τῆς γυναικός, μὴ τιμωρίᾳ ἐκδίδου τὸν φονεύοντα, καὶ κλέπτοντι νέμε συγγνώμην· οὐ γὰρ ἐπ' αὐτοῖς τὸ δρᾶν ταῦτα, ἀλλ' ἡ φορὰ τῶν ὑπὸ σοῦ θεοποιουμένων αὐτοὺς καταναγκάζει· ἕλκονται γάρ, ἀλλ' οὐ θέουσιν ἑκοντί, εἱμαρμένης ἀνάγκῃ νικώμενοι. οὐκοῦν ἐλεεῖσθαι μᾶλλον ἢ τιμωρεῖσθαι ὀφείλουσιν. εἰ δὲ σὺ μαστίζεις τὸν οἰκέτην καταφρονοῦντα, ἀποκηρύττεις δὲ τὸν υἱὸν αἰκισάμενόν σε, ἐξωθεῖς δὲ τὸ γύναιον μοιχευθέν, ὑβριζόμενος δὲ καὶ λοιδορούμενος ἐγγράφῃ, καὶ ἀφαιρούμενος τὰ προσόντά σοι ἐπὶ τοὺς ἄρχοντας καταφεύγεις καὶ τοὺς νόμους ἐπικαλῇ, οὐ τί λέγεις ἀκούω, ἀλλὰ τί πράττεις ὁρῶ. τί γὰρ οὐ νέμεις συγγώμην, ὦ πονηρέ,

123r 21 nach Aischylos fr. 139, 4 N.²

11 εἰσειδείησ· ('vgl. Manetho 6, 280' Kaibel, zur Corruptel unten 125v 19) 12 πρὸσ δέχου· (bedarf noch der Verbesserung; zur Sache verweist Kaibel auf Tzetzes zur Ilias p. 762, 9 Bachm.) 14 καὶ γὰρ δύνουσα Σελήνη | ἢ τ . . . . εὐχῶν ἢ verm. Kaibel, an κινδύνους dachte, wie ich, auch Kroll, in ητευχων fand Wendland μοιχῶν wieder vgl. Z. 26 und Clemens Rom. hom. 4, 20: danach schlage ich κινδύνους μοιχῶν ἢ vor 17 καὶ τὸν 18 δεμόνων 19 ἄστρον | τοίνυν φῆσ 22 οὐκεσθήσεως 23 εἶνε 24 ἐπιτρέψεις verm. Wendland 25 ἥλιος] viell. Ἄρης 26 ἣ δὲ] ὁ δὲ | ἕνεκα 123v 2 τύπται 3 μοιχευομενησόυ 5 viell. ⟨ἀστέρων⟩ αὐτοὺς 7 ἀνάγγεινικόμενοι 10 ἐγγράφῃ nach späterem Sprachgebrauch s. Pollux 8, 29 11 ἀφερούμενοσ

τοὺς τῇ τῶν ἄστρων ὡς φὴς ἐνεργείᾳ ὑπαχθέντας τὰ μὴ δέοντα ποιῆσαι; ἀλλὰ μέμφῃ τὴν Κλωθὼ καὶ τὸν ἐπινηθόμενον ἄτρακτον αἰτιᾷ καὶ τὴν Λάχεσιν λοιδορεῖς καὶ τὴν Ἄτροπον, δέον τὴν σαυτοῦ διάνοιαν. οὐδὲ γὰρ ἐκεῖναι ταύτῃ ἐνεργοῦσιν, ἐπεὶ μηδ' εἰσίν, κἂν οἱ ποιηταὶ μυθολογῶσιν, ἀλλ' ἡ ἑκάστου μοχθηρὰ γνώμη ταῦτα καταπράττεται, καὶ ὁ θεὸς ἄμεμπτος τῶν ὑπὸ ἑκάστου δρωμένων κακῶν. "αἰτία" γὰρ "ἑλομένου", φησί τις τῶν παλαιῶν, "ὁ θεὸς ἀναίτιος".

ἆρα δὲ βασιλεῖς βασιλέας γεννῶσιν; πῶς γὰρ οὖν Δαρεῖος ἰδιώτης ὢν βασιλεύει Περσῶν, Βορχοσὴρ δὲ ἐκ βασιλέων βα-
124r σιλεὺς γενόμενος αἰχμαλω|τεύεται εἰς Αἰθιοπίαν; ἀλλὰ τοῦτ' εἰ δοκεῖ ἐάσωμεν, ἔστω γὰρ γενόμενον ἅπαξ. καὶ τί τοῦτο πρὸς τὴν γνώμην; ἆρα συνεφώνησεν ὁ δρόμος τοῦ πατρὸς πρὸς τὸν δρόμον τοῦ υἱοῦ; καὶ μὴν ἴσμεν πολλοὺς ἰδιωτῶν βασιλεύσαντας καὶ υἱοὺς βασιλέων ἰδιωτεύσαντας. καὶ πῶς σοῦ τὸ μάθημα σύμφωνον εὑρίσκεται πρὸς τὴν ἐνάργειαν τῶν πραγμάτων, πολλῶν κατὰ τὴν αὐτὴν ἡμέραν καὶ ὥραν γεννηθέντων ἅμα, μὴ καταπραξαμένων δὲ τὰ αὐτά; ἀλλ' ὅταν ἀστοχήσῃς τοῦ ἀληθοῦς, φὴς δι' ὡρῶν ψεῦσιν παρεξολέσθαι ἅπαν. εἰκαστικῶς γὰρ ἐπιβάλλων τισὶν τὸ κατὰ συγκυρίαν συμβὰν τῇ τῆς ἐπιστήμης ἀνέθηκας ἀκριβείᾳ· ἀστοχήσας δὲ ὁμολογήσεις μὴ δύνασθαι τὴν ὥραν καταλαμβάνειν; εἰ παρὰ τὴν τῶν ὀργάνων πρόφασιν νῦν μὲν στενοπορούντων, νῦν δὲ εὐρύτερον τὸν πόρον ἐχόντων καὶ παρὰ τὸ ἐν νυκτὶ δὲ ἢ ἐν ἡμέρᾳ τίθεσθαι τὰ ὄργανα τῆς τῶν ὡρῶν καταλήψεως οὐχ ἡ τυχοῦσα διαφορά, πῶς ἂν καταλάβοις τὴν γένεσιν τοῦ κτιζομένου, τοῦ κυριωτάτου, τῆς καταλήψεως τῆς ὥρας, διαφθειρομένου; εἰ δὲ κατὰ τὴν ὥραν νῦν μὲν ἐν ἑτέρῳ ζῳδίῳ τοῦ βρέφους ἡ κεφαλὴ τίκτοιτο ***, ταχείας μὲν μεταβάσεως γενομένης ἀπ' ἄλλου εἰς ἄλλο ζῴδιον, ἐπεὶ καὶ

123v 20 Platon Staat X p. 617e

14 oben Z. 4 richtig Dativ, daher ⟨εἰς⟩ τοὺς oder ⟨γνοὺς αὐ⟩-τοὺς Kaibel | ἐνεργία 15 μέφη τὴν κλωθῶ | am Rande ση(μείωσαι) 18 μυθολογούσιν· ἄλλοι ἑκάστου 20 αἰτίαν 21 ἀνέτιοσ· 22 δὲ] δὴ oder γε verm. Kaibel 23 vielm. Βόκχορις vgl. Johannes Ant. fr. 1, 24 in FHG. 4, 540 Manetho fr. 64 f. ebend. 2, 593 124r 3 τὴν ⟨σὴν⟩ verm. Cumont 4 nach πολλοὺς wird υἱοὺς (so auch Kroll) oder ἀπ' ausgefallen sein 6 ἐνέργειαν 7 ἅμα] ἀλλὰ mit Tilgung von 8 δὲ verm. Kaibel 8 ἀστοχήσῃ 9 φὴς] φησὶν | δι' ὡρῶν ψ. παρεξολέσθαι Wendland: δῶρον ψ. παρεξολεῖσθαι 10 τισὶν· Hs.: vieli. τοῖς ἀστράσιν 11 ἀστοχείσασ 12 εἰ] ἢ 13 ἐχώντων· 16 καταλύψεωσ 17 διαφθειρουμένου· εἰ δὲ καὶ ταύτην ὥραν 18 ohne Lücke | μὲν scheint aus der folgenden Silbe entstanden 19 γενομένοις

παρὰ τοῦτο πολλὴν γίνεσθαι τὴν διαφορὰν φής, πῶς ἡ ὥρα τῆς ὅλης τοῦ τεχθέντος γενέσεως καταλαμβάνεται, ἢ καὶ παρὰ τὴν τῶν ζῳδίων μετάστασιν, τῶν ἀστέρων ἐφ' ἑτέρους τόπους ἢ ἐφ' ἕτερα ζῴδια μεταβαινόντων, ἡ τῆς ὥ|ρας κατάληψις ὁμολογηθείη ἄν, ἢ ταύτης καταλαμβανομένης ἡ τῶν μελλόντων περὶ τὸν γεννηθέντα γνῶσις συγκαταληφθήσεται; ἐὰν γὰρ ἐν μὲν τῷ ζῳδίῳ ᾖ ἥλιος ἢ σελήνη ἢ ἄλλός τις τῶν ἀστέρων καὶ σώφρονα ποιῇ, ἐν δὲ τῷ ἄλλῳ ζῳδίῳ μεταβάντος ἄλλου τινὸς ἀστέρος ᾖ ποιῶν φονέα τε καὶ μοιχόν. πῶς μὴ συμφωνούσης ἀκολασίας σωφροσύνῃ συμφωνήσειεν ἂν πρὸς ἑαυτὴν ἡ γένεσις; ἡ αὐτὴ μὲν ὥρα τὸν αὐτὸν καὶ σώφρονα καὶ ἀκόλαστον *** αὐτῆς σημαινούσης (πολλὴ γὰρ ἡ ὀξύτης τῆς τοῦ παντὸς περιδινήσεως) μηδὲ δυνατὸν εἶναι, καὶ ἐν ἀκαριαίῳ ἀφ' ἑτέρου ζῳδίου ἐφ' ἕτερον γενέσθαι τῶν ἀστέρων τὴν μετάβασιν.

ὑβρίζων δὲ σὺ τὰ τμήματα τοῦ οὐρανοῦ καλεῖς θηριώδη μὲν σκορπίον λέοντα, βληχώδη δὲ αἰγοκέρωτα καὶ κριόν, ἀνθρωποειδῆ δὲ διδύμους καὶ παρθένον, ὑδρηχόον τε καὶ τοξότην. καὶ ἥλιος μὲν καὶ σελήνη πρὸς ἕνα λαγχάνουσιν οἶκον, ὃ μὲν λέοντα, ἡ δὲ καρκίνον· τῶν δὲ λοιπῶν ἕκαστος πρὸς δύο, ὁ μὲν Κρόνος αἰγοκέρωτα καὶ ὑδρηχόον, ὁ δὲ Ζεὺς τοξότην καὶ ἰχθύας, Ἄρης δὲ κριὸν καὶ σκορπίον, Ἀφροδίτη δὲ ταῦρον καὶ ζυγόν, Ἑρμῆς δὲ διδύμους καὶ παρθένον. καίτοι πρὸς τὴν τοῦ μεγέθους ἀναλογίαν πλείονας μὲν ἐχρῆν πάντων οἴκους ἀπονεμεθῆναι ἡλίῳ, δευτέρους δὲ μετ' ἐκεῖνον σελήνῃ, καὶ ⟨κατὰ⟩ ταὐτὰ ἴσα τῆς ἀξίας πρὸς ἄλλους ἀναδήσασθαι. σὺ δέ, ὥςπερ πᾶν ὅ τι οὖν σοι δοκεῖ ἐξὸν εἶναί σε ποιεῖν ἢ λέγειν|, οὕτως ἀφραδῶς διανέμεις· ἥλιον μὲν καὶ σελήνην ἐν τοῖς τῶν οἴκων ἀφορισμοῖς οὕτω πλεονεκτεῖς, τοῖς δὲ μικροτέροις τούτων ἄστροις τὸ

20 πολὺν (ein zweites λ über der Zeile) γύνεσθαι 22 ἐμφετέρουσ τόπουσ 124v 1 ἡ] ἢ ! κατάλιψισ ὁμολογισθείη 2 καταλαιομένησ (über der dritten Silbe ein μ) | μελλώντων 3 γνῶσισ οὐ καταληφθήσεται 4 ⟨τούτῳ⟩ τῷ verm. Kroll | ἀλλόστισ 5 σόφρονα ποιεῖ 6 ᾖ ποιῶν] ἥτινῶν 7 συμφωνήσαιεν 8 ἡ αὖ μὲν . . . σόφρονα | nach ἀκόλ. musste ich, wie jetzt die Stelle uns vorliegt, eine Lücke setzen. Aber ich möchte vermuthen, dass der Satz ἡ αὐτὴ μὲν ⟨οὖν⟩ . . . ἀκόλαστον Schlussglied des Vordersatzes war und auf Z. 6 μοιχόν folgte; dann schliesst sich das weitere 9 αὐτῆς σημ. ungezwungen und ohne Lücke an 7 ἡ γένεσις an 9 πολλοὶ γὰρ 10 ἀφ' ἑτέρου] ἀμφοτέρου 13 σκοπίον· 14 δίδυμον | ὑδριχόον δὲ και 17 ὑδριχόον 21 καὶ ταῦτα ἴσα 22 πρὸς ⟨τοὺς⟩ ἄλλους oder τοῖς ἄλλοις Kaibel 125r 1 εἶναί σε] viell. εἰκαίως | αφθαδῶσ διάνέμοισ 3 μοικροτέροις

πλέον ἔχειν ἐκείνων ἀπονέμεις· καὶ ταπεινώματα αὐτῶν καλεῖς καὶ ὑψώματα αὐτῶν ὀνομάζεις, εὐθυπορίας ἕλικας, καὶ στηριγμούς τε καὶ ἀναποδισμοὺς καὶ προποδισμούς, καὶ ἄλλα περὶ αὐτῶν γραώδη εἰσαγγέλλεις· καλεῖς δὲ αὐτὰ καὶ λατρευτικὰ δι' ὧν λέγεις· "ἔνιοι δὲ διὰ τὸ πλέον τοὺς ἐν τούτοις ⟨τοῖς⟩ ζῳδίοις τὴν ὥραν ἔχοντας λατρώδεις εἶναι καὶ βδελυρὰ ἔχοντας σώματα ἢ ἐλεύθερα". πάλιν δ' αὖ μεταβαλλόμενος φής·

ἀστὴρ οὐκέτι φαῦλος, ἐπὴν ἀγαθὸν τόπον εὕρῃ,
οὐδ' ὁ τόπος γε κακός, χρηστὸν ὅταν ἀσπάζηται.

εἰ δὲ τοὺς τόπους αἰτίους εἶναι λέγεις τῶν κακῶν, ἔκδηλος εἶ πᾶσιν τῆς φρενοβλαβείας. καὶ γὰρ ἐν Περσίδι πλεῖστοι οὔτε μητρογαμοῦσιν οὔτε θυγατράσι μίγνυνται, καὶ παρὰ Ῥωμαίοις πλεῖστοι τῇ Περσικῇ ἀνοσιουργίᾳ ἥλωσαν. καὶ Ἰουδαῖοι ὑπὸ Οὐεσπασιανοῦ εἰς πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν διασπαρέντες, ὄντες δὲ καὶ ἐν Περσίδι οὐκ ὀλίγον πλῆθος καὶ ἐν Αἰθιοπίᾳ τοῦ περιτέμνειν αὐτῶν τὰ τέκνα οὐκ ἐπαύσαντο, ὥςπερ καὶ τὸ πρότερον, ὅτε τὴν Παλαιστίνην ᾤκουν· τινὲς δὲ αὐτῶν ἀλλάξαντες τὰ Ἰουδαϊκὰ ἔθη ἐπαύσαντο καὶ τοῦ περιτέμνειν αὐτῶν τὰ τέκνα. ἐξ ὧν δείκνυται ὅτι ψευδῶς σὺ τοὺς τόπους αἰτίους εἶναι λέγεις τῶν κακῶν.

125v ἀλλ' οὔτε θεὸς ὁ τῶν ἄστρων δημιουργὸς αἴτιος | τῶν παρὰ ἀνθρώποις κακῶν, οὔτε μὴν αὐτὰ τὰ ἄστρα. εἰ δὲ ἡ κίνησις αὐτῶν αἰτία, ὁ τὴν κίνησιν αὐτοῖς παρασχόμενος αἴτιος· εἰ δὲ μὴ ⟨τῇ⟩ κατὰ τὸν λόγον καθ' ὃν ἐτάχθησαν κινήσει τοῖς ἀνθρώποις κακῶν εἰσιν αἴτια, δῆλον ὅτι καθ' ἣν αὐτὰ ἑκουσίως ἐπεξεῦρον· αὐτὰ οὖν τῶν κακῶν δίκην πάντων εἰσπραχθήσονται. ὅλως δὲ ἐπιβλαβῆ οὖσαν αὐτῶν τὴν κίνησιν καὶ ἐπισχεῖν ἔδει, ἅτε φαύλως κινουμένων εἰς ἔρωτας ἐκθέσμους καὶ γυναιομανίας καὶ σφαγὰς ὀθνείους καὶ ἐμφυλίους. φὴς γάρ σου τὸν ἐπίπονον

125r 11 f. Dorotheos bei Antiochos im Catal. codicum astrologorum gr. I (codd. Florentini descr. Al. Olivieri) p. 146, 10—13

4 ἀπὸνέμοισ 5 αὐτὸν | ἕλικον· καὶ στηριγμούσται 7 λατρώδη nennt sie Anon. in Ludwichs Maximus p. 108, 27 vgl. unten Z. 9 8 viell. ἔνιοι δὲ ⟨ἢ λατρευτικὰ⟩ διὰ τὸ ⟨τὸ⟩ πλέον . . . . σώματα, ἢ ἐλεύθερα | τουσ mit breitem Querstriche über υ 9 ἔχωντασ | ἔχων τασώματα 10 μετὰ βαλλόμενος φῆσ· 12 χρηστὸν ὅτ' ἂν ἀσπάζεται· Hs. χρηστότε ἀσπάζεται bei Antiochos: χρηστόν τιν' ὅτ' ἀσπάζηται Ludwich im Könisberger Programm von 1899 p. 4 14 πᾶσιν τοῖσ 17 οὐάσπασιάνοῦ 18 ἐνεθιόπία 21 ἔθνη 22 ψευδώσσοι τοὺσ 125v 4 κινεῖσθαι verm. Wendland 5 αἴτιοι 6 αὐτὰ οὖν] ἀυτὴν 9 φησὶ γάρ

ἐργάτην καὶ σκαπτιέα ταυριανὸν εἶναι καὶ ζυγιανὸν τὸν δίκαιον, κριανὸν δὲ τὸν θυμικόν, σκορπιανὸν τὸν φονέα, ἄσωτον καὶ ὑγρὸν τὸν ἐν ἰχθύσι καὶ καρκίνῳ, σώφρονα τὸν παρθένιον, βασιλικὸν τὸν ἐν λέοντι. εἰ δὲ ταῦτα καὶ λέγειν ἕωλον, εὔδηλον τοῖς νοῦν ἔχουσιν, ὡς οὐδὲν τούτων αὐτοὶ ἐνεργοῦσιν, ἀλλ' ἡμᾶς αὐτοὺς λόγος αἱρεῖ πρὸ τῶν ἀγαθῶν ἑκουσίως τὰ φαῦλα μετερχομένους ἢ καὶ τὴν ἀρετὴν καταπραττομένους. καὶ αὐτός μοι συνᾴδεις· φῂς γὰρ αὐτεξουσίους ἡμᾶς εἶναι. μετὰ γὰρ τὸ εἰπεῖν

ἢν δὲ Κρόνον ἐσίδῃς γεραροῦν ἐν Κύπριδος οἴκῳ,
γάλλους ἢ μοιχοὺς ἔννεπε τὴν γένεσιν

προτρέπων δὲ ἐπ' εὐχὴν λέγεις·

εὐχέσθω δὴ μοιχὸς ἀνὴρ καὶ ἄσωτος ἀκοῦσαι,
πόρνου ⟨καὶ⟩ μαλακοῦ μὴ κατάγων γένεσιν.

καίτοι, ὦ ἀγαθέ, ἡ εὐχὴ τί δύναται πρὸς τὴν τῆς γενέσεως ἀνατροπήν; οὐδὲ γένεσις ἡ γένεσις εἰς τὸ πάντων δύ|νασθαι 126r κρατεῖν τὸ ἀπάγγελμα; εἰ δὲ ἀνίκητος καὶ ἀκαταμάχητος ἡ εἱμαρμένη, τί προτρέπεις εἰς τὰς περὶ τοῦ μὴ χείρους γενέσθαι εὐχὰς τοὺς ἀνθρώπους; λυσιτελεῖν γὰρ αὐτοῖς ἀσώτοις εἶναι μᾶλλον καὶ μοιχοῖς ἢ πόρνοις καὶ μαλακοῖς. οὐδὲν ἐκ τῆς εὐχῆς τῶν ἐπὶ ταύτην ἡκόντων ὠφελουμένων, ἐναντίων δὲ ὄντων τῶν λόγων ἑκατέρων, καὶ τοῦ θεοῖς εὔχεσθαι πρὸς ἀνατροπὴν χειρόνων κακῶν καὶ τοῦ τὴν γένεσιν πανταχοῦ νικᾶν, ὁ ἑκάτερα διδάσκων ἀνόητος. εὐχὴ γὰρ γένεσιν ἀνατρέπειν, εἴ περ ἔστιν, οὐχ οἷά τε. οὐκοῦν εἴ περ εὐχῆς χρεία ἑκουσίου, αὐτεξούσιοί εἰσιν οἱ ἄνθρωποι [εἰσὶ λογικοὶ καὶ τὴν γνώμην ἐλεύθεροι] καὶ τῇ γνώμῃ αἱροῦνται τὰ καλὰ ἢ τὰ φαῦλα, ἀλλ' οὐ τῇ τῶν ἄστρων

10 vielm. σκαπανέα 12 ἰχθῦσι· καὶ καρκινοσόφρονα 13 ἕωλον 14 ἔχουσι· 14—15 ἀλλὲἱμᾶσ 15 λόγοσ ὁρᾶ (das folgende Participium kann dieser Verbindung nicht zur Stütze dienen) 17 φησὶ γὰρ 18 am Rande ἀφροδι(τη) 19 εἰσειδείησ γεραροῦν ἐν κῦ' (di. κυρίου) πατρίδοσ | für γεραροῦν verm. Kaibel περάοντ' nach Maximus 578, viell. παρέοντ' vgl. Manetho 2, 177 us. 21 lies δὴ ἐπ' 22 δὴ] δὲ 126r 1 viell. ⟨ἢ⟩ οὐδέ γ' ἐναίσιμος ἡ γένεσις 3 εἱμαρμένοι τί προστρέπεισ εἰσταπερὶ τοῦμη χείρουσ εὐχαῖσ γεναίσθαι τοὺσ (ähnlich besserte Wendland) 4 λυσιτελεῖν . . . μαλακοῖς müsste als Referat der gegnerischen Ansicht genommen werden. Aber die Verbindungslosigkeit des folgenden Satzes nöthigt eine Lücke anzunehmen, etwa μαλακοῖς ⟨πῶς οὐκ αἰσχύνῃ λέγων; δῆλον οὖν ὡς⟩ οὐδὲν 5 πόρνησ 6 ταύτησ ἡκ. ὠφελουμένων. (durch bessere Interpunktion hat Kaibel die Stelle aufgehellt) 7 καὶ τοῖσ θεοῖσ 9 διδάσκον | ἀνατρέπην 11 εἰσὶ . . . ἐλεύθεροι aus Z. 13 eingedrungen tilgt Kroll | καὶ τῇ] καίτοι

κινήσει. οἵ τε γὰρ ἄνθρωποι εἰσὶ λογικοὶ καὶ τὴν γνώμην ἐλεύθεροι, οἵ τε ἀστέρες εἰσὶν ἄψυχοι καὶ αἰσθήσεως ἄμοιροι, πρὸς ὑπηρεσίαν ἀνθρώπων ὑπὸ θεοῦ γενόμενοι εἰς σημεῖα καὶ καιροὺς καὶ εἰς ἐνιαυτούς, οὐκ ἐπὶ βλάβῃ ἀλλ' ἐπ' ὠφελείᾳ. θεὸς φύσει ἀγαθὸς ὢν οὐδενός ἐστι κακοῦ δημιουργός, ἐπεὶ μηδ' ἔμφασιν ἔχει τι φαῦλον παρὰ θεοῦ γίνεσθαι τοῦ καὶ φύσει καὶ γνώμῃ ὄντος ἀγαθοῦ. μαρτυρεῖ δέ μοι τῷ λόγῳ ὁ σὸς ὑποφήτης Μένανδρος,

ὡς τοῖσιν εὖ φρονοῦσι σύμμαχος τύχη. —
ἅπαντι δαίμων συμπαρίσταται
εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου
ἀγαθός· κακὸν γὰρ δαίμονα οὐ νομιστέον
εἶναι βίον [οὐ] βλάπτοντα θνητὸν οὐδ' ἔχειν
κακίαν· ἅπαντα δ' ἀγαθὸν εἶναι τὸν θεόν.
ἀλλ' οἱ γενόμενοι τοῖς τρόποις αὐτοὶ κακοί,
126ᵛ πολλὴν δ' ἐπιπλοκὴν | τοῦ βίου πεποιημένοι
εἰς πάντα τὴν ἑαυτῶν ἀβουλίαν
τρίψαντες ἀποφαίνουσι δαίμονα αἴτιον
καὶ κακὸν ἐκεῖνόν φασιν αὐτοὶ γεγονότες.

οὐκοῦν κατ' αὐτὸν οὐδενὸς κακοῦ αἴτιος ὁ θεός. μεμφόμενος δέ που τὸ κακὸν τοῦτο μάθημά σου ὁ κωμικὸς Σωτάδης, χαριέντως διδάσκων μάταιον μόχθον εἶναι, φησίν· "εἰ μετὰ τὸ μαθεῖν οὐκ ἦν παθεῖν ἃ δεῖ παθεῖν· δεῖ γὰρ μαθεῖν· εἰ δὲ δεῖ παθεῖν με κἂν μάθω, τί δεῖ μαθεῖν; οὐ δεῖ μαθεῖν, ἅπερ δεῖ παθεῖν, δεῖ γὰρ παθεῖν. διὰ τοῦτ' οὐ θέλω μαθεῖν· παθεῖν με γὰρ δεῖ". περιττὸν οὖν τὸ περὶ τὰ τοιαῦτα λεσχηνεύεσθαι, οὐδὲν γὰρ προὔργου. οὔτε γὰρ πραγμάτων οὔτε τυχαία τις σύμβασις,

126ʳ 15 f. nach Genesis 1, 14 21 Euripides fr. 598, 3 N.² 22—25. 26 Menander fr. inc. 18 in Meineke's Com. 4, 238 25 οὐδ' ἔχειν κακίαν und Z. 27—126ᵛ 4 sind neu.

13 κινείσει οἵ τα γὰρ 15 εἰσημεῖα 17 μηδὲ φύσιν 18 γύνεσθαι· 19 μοι ist überliefert 21 ὡστοίσιν | σύμαχος dann μ nachgetragen 21—2 τύχη· ἀπαν|τί· δαίμων 22 lies δαίμων ⟨ἀνδρὶ⟩ nach Clemens Al. strom. V p. 260, 8 Sylb. und den übrigen Zeugen 24 οὐνομαστέον 25 βίον· οὐ (dass οὐ durch Dittographie der vorhergehenden Silbe entstanden, hat Hauler erkannt. Clemens gibt βίον βλάπτοντα χρηστόν) 126ᵛ 1 δ'ὲ (dh. δ' verbessert aus δὲ) 2—3 über die Herstellung s. unten S. 338 2 εἰπάντα 3 ἐκτρίψαντεσ· 4 ἐκεῖνό 6 κωμικῶσ | χαριέντως] χάρινώς (Χαρίνοις Hauler) 7—11 über die Herstellung des Fragments s. unten S. 339 8 οὐκὴν παθὴν | viell. ἅ'δει 12 nach πραγμάτων scheint ein Substantiv zu fehlen wie περιπλοκὴ oder κατάστασις (so Kaibel)

οὐ Κλωθώ, οὐ Λάχεσις, οὐκ Ἄτροπος, ἀλλ' ἡ τοῦ θεοῦ πρόνοια ἐφέστηκεν ἡνιοχοῦσα τὰ πάντα, πάντ' ἐφορῶσα καὶ πάντ' ἄγουσα καὶ φέρουσα πρὸς τὴν τοῦ διοικοῦντος γνώμην.

ταῦτα δέ μοι πάντα εἴρηται διὰ τὴν τοῦ θεοῦ φωνήν, ἣν παιδεύων τὸν ἑαυτοῦ θεράποντα Ἰὼβ ἔφη· ὅτε ἐγεννήθησαν ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου καὶ ὕμνησάν με.

14 λάχησισ.

## ANHANG I

Als Vertreter der astrologischen Irrlehren hat sich Julianus einen Schriftsteller erwählt, an den er seine Einreden persönlich wie an einen Zeitgenossen richtet. Aber es ist mehr als fraglich, ob es ein einziges astrologisches Werk war, dem er seine Angriffspunkte entlehnte. Ein Bruchstück ist zweifellos prosaisch f. $125^r$ 8; auch die kurz vorher daraus angeführten Kunstausdrücke ($125^r$ 4—6) führen auf diese Form: Worte wie εὐθυπορία und ἀναποδισμός konnten in daktylischen Versen kein Unterkommen finden. Ein Fragment ($125^r$ 11) ist bezeugt als Eigenthum des Dorotheos, also hexametrisch. Die Mehrzahl der angezogenen Stellen ist einem in elegischen Distichen gehaltenen Lehrgedicht entnommen ($123^r$ 8. 11. 14. $125^v$ 19. 22). Sie in späte Zeit zu verweisen genügt schon der Gebrauch von εἰς für ἐν $123^r$ 11.

Nur ein einziger Astrologe ist mir bekannt, der sich elegischer Form bedient hat, der sogen. Anubion, dessen Werk schon um das J. 340 n. Chr., als Julius Firmicus schrieb, gelesen war[1]. Sechs zusammenhangende Distichen über die Berechnung des Horoskops sind daraus handschriftlich aufbewahrt, und von Iriarte Catal. codd. Gr. Matrit. p. 247, die vier ersten schon von Salmasius Exercitt. Plin. p. $461^b$ ed. Trai. herausgegeben worden[2].

Spuren desselben oder eines ähnlichen Lehrgedichtes finden sich auch in der astrologischen Sammlung, die den Namen des

[1] Firmicus math. III 1, 1 'Mundi itaque genituram hanc esse voluerunt secuti Aesculapium et Hanubium, quibus potentissimum Mercuri numen istius scientiae secreta commisit': Worte die ich nicht anders verstehen kann als unter der Annahme, dass Anubion an den Hermes Trismegistos angeknüpft hatte.

[2] S. Koechly's Manethoniana p. 117.

Manetho trägt. Man hat längst bemerkt, dass das erste Buch desselben ein Sammelsurium ist, aus verschiedenen Quellen zusammengelesen. Zu den sichtbarsten Merkmalen dieses Ursprungs gehört der Umstand, dass in das hexametrische Buch mehrfach vereinzelte Pentameter oder Distichen eingemischt sind:

38 ἄρχοντάς τ' ἰδίης πάντοτε πραγματίης
75 πάντοτε μὲν κέντροισιν ἐπὼν κορυθαίολος Ἄρης
τὴν πρῆξιν παρέχων τοῖάπερ ἐκτελέει
ἤ τοι λαξευτὰς ἢ τέκτονας ἢ λιθοεργούς
91 ἐμμανέας τεύχει ἠδὲ φρενοβλαβέας
98 αἰδεῖται δ' Ἄρης καθορῶν φάος Ἠελίοιο
οὐδ' ἔτι τὴν προτέρην ἔσχε κακοφροσύνην
124 μαρτυρίην τούτῳ καὶ Κρόνος ἀμφιβάλοι
127 ἔσθ' ὅτε δ' ἑρμαφρόδιτον ὁμώνυμον ἀθανάτοισιν
δισσὰς ἀχρήστους εἰς ἓν ἔχοντα φύσεις
151 ἀλλ' οὔρεα πικρά σ' ἔτικτεν
καὶ Λύσσα στυγερὴ καὶ Χάος οὐλόμενον
159 ἀνέρας ἐκτήκει πολλάκις ἐκ κρυφίων
175 Ζεὺς δ' ἐσιδὼν τοῦτον (viell. τούτων) ἐσθλὸν ἔθηκε τέλος
208 πλησιφαὴς Κρονίωνι συναντήσασα Σελήνη
εὐτυχέας ῥέζει καὶ μακαριστοτάτους.
210 εἰ δὲ λίποι Κρονίωνα φάει πλήθουσα Σελήνη,
οὐκέτι τὴν αὐτὴν ἐντὸς ἔχει δύναμιν.
335 μάρτυς ἐπεὶ τούτῳ γίνετο[1] καὶ Πυρόεις
336 ἡ μήτηρ προτέρη οἴχεται εἰς Ἀίδην
345 ἐκ δούλων δούλους τούσδε νόει ξυνέσει
348 εὐτυχὲς ἐκ γενεῆς ἔσσεταί ⟨οἱ⟩ τὸ θέμα[2]
349 δόξῃ καὶ πλούτῳ καὶ φιλίαις μερόπων
351 Μήνην εἰ συνόδοισι Κρόνος φίλος ἀγκαλίσαιτο,
εὐπράκτους ῥέζει καὶ μακαριστοτάτους[3]
360 λοιπόν μοι Μοῦσαι δότ' ἀεῖσαι πλείονα τούτων
εἰς ἑτέραν βίβλον τῷδε μέτρῳ πρὸς ἔπος.

Dies letzte Distichon ist an das Ende des Buches gestellt; es beweist dass das astrologische Lehrgedicht, dem es entlehnt ist, aus zwei Büchern bestand.

Herr Cumont und seine Mitarbeiter, die jetzt so eifrig bemüht sind uns endlich einen Ueberblick über die reiche astrologische Litteratur der Griechen zu verschaffen, werden in der Lage sein, diese Spuren weiter zu verfolgen. Ob die von Manetho überlieferten Reste und die Bruchstücke bei Julianus den gleichen

---

[1] μάρτυς δ' ἐπὶ τοῦτο γένηται überl.
[2] ἔσσεται τοῦτο θέμα überl., verbessert von Dorville.
[3] Vgl. oben V. 209.

Ursprung haben, ob es überhaupt ausser dem Werke unter dem Namen des Anubion noch andere in elegischen Distichen abgefasste Lehrgedichte über Astrologie gab, muss ich dahingestellt sein lassen.

## II

Wer den scharfsinnigen Ausführungen unseres Collegen Elter über die durch die spätere Litteratur hin zerstreuten Spuren des alten Florilegiums gefolgt ist, für den bedarf es keines Wortes darüber, dass Julian die Bruchstücke des Menander und Sotades, durch welche er seine Behauptung der menschlichen Willensfreiheit so wirkungsvoll unterstützt, nicht durch eigene Lectüre gefunden, sondern einer Blüthenlese verdankt, in welcher er nur das Kapitel περὶ τῶν ἐφ' ἡμῖν nachzuschlagen brauchte. Der Verfasser selbst verräth das Geheimniss seiner Quelle, indem er als Eingang des Menandrischen Bruchstücks den Vers gibt

ὡς τοῖσιν εὖ φρονοῦσι σύμμαχος τύχη.

Zwar den Anstoss, den das einleitende ὡς geben würde, wenn es in der Luft schwebte, hat er für seine Leser geschickt verdeckt, indem er es mit μαρτυρεῖ verband. Aber der Mangel eines Zusammenhangs zwischen diesem und den folgenden Versen und die Unvereinbarkeit eines Verses, der von der Glücksgöttin spricht, mit einer Ausführung über den δαίμων tritt nur um so greller hervor. Schlagen wir in unserem heutigen Florilegium das bezeichnete Kapitel auf, so begegnet uns gleich an vierter Stelle das Excerpt (Joh. Stob. II 8, 4)

Εὐριπίδου Πειρίθῳ (fr. 598 N.²)
ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστῳ φρενὶ
ἔρριψεν ὅςτις τόνδ' ἐκαίνισεν λόγον,
ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.

Es ist, wie v. Wilamowitz (Anal. Eurip. 165) gut bemerkt hat, die Sokratische Umbiegung der sprichwörtlichen Wahrheit 'fortes fortuna iuvat', die schon vorher in der Tragödie ganz gleichartig ausgemünzt war, wie Sophokles fr. 374 οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη zeigen kann. In der Sammlung, deren Julian sich bediente, müssen die beiden Eingangsverse der Euripideischen Stelle ausgefallen gewesen sein, so dass das nächste Lemma Μενάνδρου auf den übriggebliebenen Vers mitbezogen wurde. Noch war die jetzt störende Spur des ursprünglichen Zusammenhangs, das bedeutungslose ὡς nicht getilgt, und Julian hat sie gedankenlos herübergenommen. In dem Exemplar, dem der

Sammler der Menandrischen Gnomen den Vers entlehnte (monost. 462 p. 353 Mein.) war die unvermeidliche Besserung vorgenommen worden: πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.

An einer anderen Stelle dagegen war die Vorlage Julians sichtlich überarbeitet. Jeder wird an der nichtsnutzigen Tautologie οὐδ' ἔχειν κακίαν nach κακὸν γὰρ δαίμον' οὐ νομιστέον εἶναι Anstoss nehmen und wenig geneigt sein sie Menander zuzutrauen. Clemens kennt diese Worte nicht, er führt V. 1—5 βίον βλάπτοντα χρηστόν (zweifellos richtiger als θνητόν) an und fügt dann hinzu εἶτα ἐπιφέρει· ἅπαντα δ' ἀγαθὸν εἶναι τὸν θεόν. Auch dem Florilegium, das Julian benutzte, war das Bruchstück lückenhaft zugegangen, sein Redactor hatte die Lücke auf billige Weise ergänzt.

Die ausserdem neu hinzugekommenen fünf Verse erwecken nicht nur volles Vertrauen zu ihrer Echtheit, sondern schliessen sich auch aufs engste an den vorhergehenden Gedanken an. Nur eine Stelle leidet an schwerer Verderbniss, 126$^{v}$ 2 εἰπάντα τὴν ἑαυτῶν ἀβουλίαν ἐκτρίψαντες. Eine einleuchtende Herstellung ist meines Wissens noch nicht gefunden. Was Hauler S. 338 vorgeschlagen, ist unannehmbar. Den gleichen Gedanken haben Gomperz mit

εἶτα δι' ἑαυτῶν τὴν ἀβουλίαν ⟨κακῶς⟩ | τρίψαντες

und Kaibel durch ἔπειτα τὴν αὑτῶν δι' ἀβουλίαν ⟨κακῶς⟩ | πράξαντες gesucht. Ich kann nicht glauben, dass der Eingang εἰπάντα so stark entstellt sein sollte; es kann darin doch nur entweder εἰς πάντα (früher hatte ich an εἰς πάντα ⟨μᾶλλον⟩ τὴν ἰδίαν ἀβουλίαν τρέψαντες gedacht) oder ἢ πάντα enthalten sein, und danach möchte ich, bis überzeugenderes gefunden ist, vorschlagen

ἢ πάντα τὴν αὑτῶν ⟨δι'⟩ ἀβουλίαν κακῶς
τρίψαντες ἀποφαίνουσι κτλ.

Von weit grösserem Interesse ist das neue Bruchstück des Sotades, das in witziger Parodie dialektischer Methode mit der damals neu hervorgetretenen Astrologie Abrechnung hält. Wenn auch der Wortlaut des Dichters keine deutliche Beziehung auf den Sternglauben enthält, sondern auf jede Art und Weise die Zukunft zu erkunden gleich gut passt, so müssen wir es doch dem ausdrücklichen Zeugniss unseres Berichterstatters (126$^{v}$ 6 τὸ κακὸν τοῦτο μάθημά σου) glauben, dass Sotades' Witz gegen die Astrologen gerichtet ist. Einen Nachklang desselben Gedankens hat Diodoros von Tarsos in seinem Werk gegen die Astrologie bewahrt, bei Photios bibl. c. 223 p. 219$^{a}$ 40 εἰ δὲ

καὶ μαθόντα μὴ δυνατόν ἐστι φυγεῖν, τί χρὴ μανθάνειν μάτην καὶ ταῖς φροντίσι προδαπανᾶσθαι καὶ πλήττεσθαι πρὸ τῆς πληγῆς καὶ πρὸ τοῦ θανάτου χεῖρον τῶν τεθνεώτων κολάζεσθαι; Nicht der Alexandriner Sotades spricht zu uns, sondern der bisher durch wenige Fragmente vertretene Komiker: die erhaltenen Worte zeigen unzweideutige Iamben und widerstreben grösseren Theils einer Herstellung in ionische Tetrameter. So erhält das Bruchstück eine Wichtigkeit als vermuthlich ältestes Zeugniss für das Vordringen chaldäischer Lehre nach Griechenland, s. Epicurea p. XXXIX f.

Für Verständniss und Herstellung hat Kaibel den Weg gefunden, indem er erkannte, dass die vorausgeschickten Worte μάταιον μόχθον εἶναι (Z. 7), wenn auch dem Dichter selbst entlehnt, doch nicht in syntaktischer Verbindung mit dem folgenden Bedingungssatze gestanden haben können. Wäre das letztere der Fall gewesen, so würde οὐκ ἦν παθεῖν sinnwidrig sein und der Satz vielmehr gelautet haben müssen μάταιος ἦν ἂν μόχθος, εἰ μετὰ τὸ μαθεῖν οὐκ ἦν ⟨μὴ⟩ παθεῖν ἅ'δει παθεῖν; diesen von mir ehemals verlangten Gedanken würde man aber dem deutlich erhaltenen Verse nur gewaltsam aufdringen können. Der Dichter spitzt die Frage auf das Verhältniss von μαθεῖν und παθεῖν zu: Vorher zu erfahren was man zu befahren hat, liesse sich hören, wenn dadurch die Möglichkeit gegeben würde, das nicht zu befahren, was man befahren sollte; wenn man aber alles zu befahren hat, auch wenn man es vorher erfahren hat, wozu es vorher erfahren? Kaibel versuchte danach folgende Herstellung des Bruchstücks

⟨καλῶς ἂν εἶχε νὴ Δί'⟩, εἰ μετὰ τὸ μαθεῖν
οὐκ ἦν παθεῖν ἃ δεῖ παθεῖν· δεῖ γὰρ μαθεῖν.
εἰ δεῖ παθεῖν δὲ κἂν μάθω, τί δεῖ μαθεῖν;
οὐ δεῖ μαθεῖν ἄρ' ἃ δεῖ παθεῖν· δεῖ γὰρ παθεῖν.
διὰ τοῦτ' ⟨ἐγὼ⟩ οὐ θέλω μαθεῖν· δεῖ γὰρ παθεῖν.

Mit der Behandlung der drei ersten Verse bin ich bis auf V. 2 ἃ δεῖ, wofür ich ἅ'δει nothwendig halte, vollkommen einverstanden; für die beiden letzten möchte ich meine alte Fassung beibehalten:

οὐ δὴ μαθεῖν ἅ γε δεῖ παθεῖν; δεῖ γὰρ παθεῖν.
διὰ τοῦτ' ⟨ἄρ'⟩ οὐ θέλω μαθεῖν, παθεῖν μ' ἃ δεῖ.

---

## NACHTRAG

Satz und Correctur vorstehender Blätter war seit Wochen abgeschlossen, als ein Zufall mich bei der Beschäftigung mit Angelo Mai's Nova patrum bibliotheca B. I auf folgende Bemerkung des gelehrten Cardinals p. 112 Anm. 2 führte:

> Contra Manichaeos resurrectionem corporum tuetur Augustinus etiam lib. IX adversus Faustum manich. cap. 3. Insuper in prisco ad Iobum commentario adhuc inedito, cuius ego verum auctorem proprio in loco patefacturus sum, cap. VII 9 ad ea verba: *nam si homo descenderit ad inferos, haud amplius ascendet nec revertetur ultra in domum suam, neque eum recognoscet locus eius* sic commentarii auctor ait: Ταῦτα δὲ λέγει οὐχὶ τὸν τῆς ἀναστάσεως ἀθετῶν λόγον, ὡς ἐνόμισαν Μανιχαῖοι καὶ Οὐαλεντινοί, ἀλλ' ὅτι, φησίν, ὁ τελευτήσας οὐκ ἔτι ἐπανήξει εἰς ταύτην τὴν ἀγωγὴν οὔτε θνητῶν ἐφάψεται ἔτι πραγμάτων, ἑτέρας λήξεως τυγχάνων· πέπαυται γὰρ αὐτῷ λοιπὸν ὁ τῆς πολιτείας λόγος καὶ τῶν βιωτικῶν ἔργων ἐκεχειρίαν ἔχει, παραδραμούσης τῆς ἐπιπόνου ἐργασίας καὶ τῷ θανάτῳ ἐπισχεθείσης [worauf dann eine lateinische Uebersetzung des Citats folgt].

Der Leser hat den Eingang dieser Erklärung bereits oben S. 323 kennen gelernt und kann das Weitere an der lat. Uebersetzung des Perionius p. 528[k] (ed. Paris. 1619) controlliren. Mai hat also in einer Römischen Handschrift, wahrscheinlich des Vatican, unseren namenlos überlieferten Commentar zum Hiob kennen gelernt und in Erinnerung der alten Hiobcatene, aus welcher er so viele Fragmente des Julianus von Halikarnass im Spicilegium Romanum 10, 206 ff. ausgezogen hatte, über den Verfasser des Commentars nicht zweifeln können. Dass sein Hiobcommentar unter dem Namen des Origenes längst in der lateinischen Uebersetzung des Perionius gedruckt vorlag, davon hat Mai noch keine Ahnung; hätte er sie oder die Pariser Hs. gekannt, so würde er die Autorschaft des Origenes erwähnt und abgewiesen haben. Allem Anschein nach darf in dieser Römischen Hs., in welcher das Werk des Julianus ohne einen Verfassernamen erhalten ist, die letzte Quelle der beiden bisher bekannt gewordenen Hss. zu Paris und Berlin vermuthet werden. Ich freue mich diesen Hinweis noch den vorstehenden Mittheilungen beigeben zu können, und hoffe, dass er bald zur Aufspürung der Mai'schen Hs. den Anlass geben wird; für manches Räthsel, das ich oben ungelöst lassen musste, darf dann urkundliche Erledigung erwartet werden. H. U.